Αἰ. Σπερχειὲ ποταμὲ, βουνόμοι τ' ἐπιστροφαί.

Διόνυ. Κόκκυ μεθεῖτε, καὶ πολύ γε κατωτέρω

Χωρεῖ τὸ τοῦδε. Ευ. καὶ τί ποτ' ἐστὶ τ' αἴτιον;

Δι. Ὅτ' εἰσέθηκε ποταμὸν ἐριοπωλικῶς

Ὑγρὸν ποιήσας, τοὔπος, ὥσπερ τἄρια.

Σὺ δ' εἰσέθηκας τοὔπος ἐπτερωμένον.

Εὐ. Ἀλλ' ἕτερον εἰπάτω τι, κἀντιστησάτω.

Δι. Λάβεσθε τοίνυν αὖθις. Εὐριπ. ἢν ἰδού. Δι. λέγε.

Εὐριπ. Οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο, πλὴν λόγος.

Αἰ. Μόνος θεῶν γὰρ θάνατος, οὐ δώρων ἐρᾷ.

Διόνυ. Μεθεῖτε, μεθεῖτε, καὶ τὸ τοῦδέ γ' αὖ ῥέπει.

Θάνατον γὰρ εἰσέθηκε βαρύτατον κακῶν.

Εὐριπ. Ἐγὼ δὲ πειθώ γ', ἔπος ἄριστ' εἰρημένον.

Διόνυ. Πειθὼ δὲ κοῦφόν ἐστι, καὶ νοῦν οὐκ ἔχον

Ἀλλ' ἕτερον αὖ ζήτει τι τῶν βαρυσταθμῶν,

Ὅ τι σοι καθέλξει καρτερόν τε καὶ μέγα.

Εὐριπ. Φέρε ποῦ τοιοῦτο δῆτα μοὐστί; ποῦ φράσω;

Διόνυ. Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.

Λέγοιτ' ἄν, ὡς αὕτη 'στι λοιπὴ σφῷν στάσις.

Εὐριπ. Σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον.

Αἰ. Ἐφ' ἅρματος γὰρ ἅρμα, καὶ νεκρῷ νεκρός.

Διόνυ. Ἐξηπάτηκεν αὖ σε καὶ νῦν. Εὐριπ. τῷ τρόπῳ;

Δι. Δύ' ἅρματ' εἰσέθηκε καὶ νεκρὼ δύω,

Οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι.

Αἰ. Καὶ μηκέτ' ἔμοιγε κατ' ἔπος, ἀλλ' ἐς τὸν σταθμὸν

Αὐτὸς, τὰ παιδία, χ' ἡ γυνὴ Κυφισοφῶν,

Ἐμβὰς καθήσθω, ξυλλαβὼν τὰ βιβλία,

Ἐγὼ δὲ δύ' ἔπη τῶν ἐμῶν ἐρῶ μόνα.

A *Æs. Sperchie fluuie, pascuique vortices.*

*BA. Cucu: stateram mittite: multò preßior*

*Lanx Æschyli, quàm altera. Ev. quid causæ obsecro?*

*BA. Quia fluuium imposuit: & carmen propemodum*

*Humectauit perinde, vt qui lanam solent*

*Humectare, priusquàm in foro diuendit ent:*

*Tu verò verbum imposuisti volatile.*

B *Ev. Age aliud dicat, & contra me proferat.*

*BA. Prendite rursum stateram. Ev. ellam. BA. iam proferas.*

*Ev. Non est fanum Suadæ, nisi bona oratio:*

*Æs. Mors est Deus sola, haud capit data munera.*

*BA. Dimittite, mittite: iterum inclinat Æschyli:*

C *Nam mortem imposuit, malum grauißimum.*

*Ev. At ego Suadæ verbum imposui, dictum optimè.*

*BA. Res lenicula est suadela, & mentem non habet,*

*Disquire aliud, & quod sit ponderosius,*

*Et quod lancem plus deprimat, ac validiùs.*

D *Evr. Sine videam, vbi sit tale. vbi dicam esse, obsecro?*

*BA. Duas Achilles tesseras & quatuor*

*Iecit: pergite: nam res in vno hoc cardine est.*

*Evr. Lignum graue ferro, comprehendit dextera.*

*Æs. Nam currui currum, atque funus funeri.*

*BA. Iterum dolo te circumuenit. Ev. & quomodo?*

E *BA. Currus duos, duósque iniecit mortuos:*

*Quos ægrè centum sustollant Ægyptij.*

*Æs. Ne ponderentur iam voces: sed liberi*

*Et vxor, & Cephisopho, & ipsus & libri*

*Nunc insideant lanci. ego tantùm duo proferam*

*Verba è meis.---*

Σχόλια. Βουνόμοι.] ὑπὸ βοῶν κατανεμόμεναι. ἔστι δὲ, ἐκ Φιλοκτήτου Αἰσχύλου. Ἐριοπωλικῶς.] ὡς οἱ τὰ ἔρια πωλοῦντες βρέχουσιν αὐτὰ ἵνα βαρυνῶσιν ἐν τῷ σταθμῷ. τὸ δὲ οὐκ ἔστι πειθοῦς, ἐξ Ἀντιγόνης Εὐριπίδου. τὴν δὲ πειθὼ χρῆμα νοῦν οὐκ ἔχον φησίν. ὅτι τὸ πείθειν ποικιλία καὶ στροφὴ λόγων ἐστὶ παράγουσα τοὺς ἀκούοντας καὶ οὐκ ἀληθὴς διάνοια. τὸ δ' ἑξῆς ἐκ Νιόβης Αἰσχύλου. Βέβληκ' Ἀχιλλεύς.] Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι. ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ οὓς καὶ παρεῖλε. μή ποτ' οὖν ἐκεῖθεν ἦν. G μᾶλλον δὲ, ἐσχεδιακὼς ἂν εἴη Ἀριστοφάνης. οὐδὲ γὰρ τὸν Εὐριπίδην, τοῦτο προφερόμενον, ἀλλὰ τὸν Διόνυσον χλευάζοντα. τινὲς δὲ ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος. οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. ἐμφαίνει δὲ καὶ Εὔπολις τοῦτο εἰδώς. ἀποφθαρεὶς δὲ δύο κύβω καὶ τέτταρα. τοῦτο δὲ Διόνυσος ὑποβάλλει

F αὐτῷ χλευάζων. ἄλλως. ἐκ Μυρμιδόνων. πεποίηκε γὰρ αὐτοὺς κυβεύοντας. ἔθος δὲ τοῖς κυβεύουσιν οὕτω λέγειν. β δη γέ. τοῦτο δὲ λέγει ὁ Διόνυσος δεικνὺς ὡς Αἰσχύλος νενίκηκε. τὸ δὲ σιδηροβριθὲς, ἐκ Μελεάγρου. τὸ δὲ ἐφ' ἅρματος γὰρ ἅρμα ἐκ Γλαύκου Ποτνιέως Αἰσχύλου. τὸ δὲ ἐξηπάτηκεν εἶπεν ἐκ μεταφορᾶς τῶν παλαιστῶν. ἐκεῖνοι γὰρ ἀπατῶντες τοὺς ἀντιπάλους νικῶσιν. Ἑκατὸν Αἰγύπτιοι.] πανταχοῦ τῶν Αἰγυπτίων ὡς ἀχθοφόρων μέμνηται. Κηφισοφῶν.] καὶ διὰ τούτου δηλοῖ πάλιν, σχεδόν τι τὸ συναμφότερον. G ὡς Κηφισοφῶν συνεποίει τὰ δράματα. καὶ τὴν γυναῖκα αὐτοῦ εἶχεν. ἄλλως. οὐχ ὡς μόνον συμποιοῦντος αὐτῷ τοῦ Κηφισοφῶντος τὰ δράματα, ἀλλὰ ὡς συνόντος αὐτοῦ τῇ γυναικί. οἱ δὲ γράφοντες χὠ Κηφισοφῶν, εἰσὶ δὴ ἀξιοῦντες ἀνάπαιστον τὸν τελευταῖον πόδα, σκεψάσθωσαν εἰ ἡ προπαραλήγουσα συστέλλεται.